Δ 694
ΣΥ 183
5/440
ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ
183/5
1821

# ΑΚΟΛΟΥΘΙΑ

ΤΩΝ

ΕΚ ΜΕΛΑΜΠΩΝ ΤΗΣ ΕΝ ΚΡΗΤΗ ΙΕΡΑΣ ΕΠΙΣΚΟΠΗΣ

## ΛΑΜΠΗΣ

ΑΓΙΩΝ ΤΕΣΣΑΡΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΝΕΟΜΑΡΤΥΡΩΝ
ΑΓΓΕΛΗ ΜΑΝΟΥΗΛ ΓΕΩΡΓΙΟΥ ΚΑΙ ΝΙΚΟΛΑΟΥ
ΤΩΝ ΕΝ ΡΕΘΥΜΝΗ· ΤΗ ΚΗ' ΟΚΤΩΒΡΙΟΥ ΤΟΥ
ΑΩΚΔ. ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ.

## ΑΝΑΤΥΠΩΣΙΣ

ΜΕΤΑ ΠΟΛΛΩΝ ΠΡΟΣΘΗΚΩΝ ΚΑΙ ΔΙΟΡΘΩΣΕΩΝ

**ΕΝ ΡΕΘΥΜΝΗ**

ΤΥΠΟΙΣ ΣΤ. ΕΜΜ. ΚΑΛΛΙΖΑΚΗ

1888

# Τοῖς ἁπανταχοῦ εὐσεβέσιν

*Κατὰ τὸ πολλαχῶς ἀξιομνημόνευτον καὶ ἐθνοσωτήριον ἐκεῖνο ἔτος, τὸ* **1821**, *τέσσαρες Κρῆτες, Ἀγγελῆς, Μανουὴλ, Νικόλαος καὶ Γεώργιος τὸν Ἰσλαμισμὸν μὲν ἐν τῷ φανερῷ πρεσβεύοντες τὴν Ὀρθόδοξον δὲ χριστιανικὴν πίστιν ἐν τῷ κρυπτῷ θεραπεύοντες καὶ εὐσέβειαν οὐ τὴν τυχοῦσαν ἀσκοῦντες, τάσσονται ὑπὸ τὴν σημαίαν τῆς ἐλευθερίας τῆς πατρίδος, ἣν εἶχον τότε ἀναπετάση οἱ πατέρες ἡμῶν, ἀποπτύουσι δημοσίᾳ τὸν κατ' ἐπιφάνειαν ὅλως μωαμεθανισμὸν αὐτῶν, κηρύττουσιν ὑψηλῇ τῇ φωνῇ ὅτι ἐκ προγόνων εἰσὶ χριστιανοὶ καὶ μετὰ χριστιανικοῦ ζήλου καὶ γνησίων Ἑλλήνων ἡρωϊσμοῦ ἐναποδύονται εἰς τὸν ὑπὲρ πίστεως καὶ πατρίδος ἱερὸν ἀγῶνα καὶ μέχρι τοῦ* **1824** *καταπαλαίουσι τοὺς ἐχθροὺς καὶ τυράννους τῆς ἑαυτῶν πατρίδος. Κατὰ τὸ μοιραῖον ὅμως τοῦτο ἔτος συλλαμβάνονται, προσάγονται ἐνώπιον τοῦ τότε τυράννου Ρεθύμνης, ἐκβιάζονται ὑπ' αὐτοῦ τὸ μὲν πρῶτον διὰ θωπειῶν καὶ κολακειῶν, εἶτα δὲ καὶ δι' ἀπειλῶν καὶ βασανιστήριων δεινῶν, ἵνα ἀπαρνηθῶσι τὴν ἁγίαν αὐτῶν πίστιν, ἐγκλείονται εἰς φρικώδη εἱρκτὴν, ἐν τῷ σκότει τῆς ὁποίας εὗρον φρικωδέστερα βασανιστήρια, καὶ ἐπὶ τέλους καταδικάζονται εἰς τὸν διὰ καρατομίας θάνατον, ὃν ὑπέμειναν τῇ 28 Ὀκτωβρίου χαίροντες καὶ δοξάζοντες τὸν θεὸν τὸν καταξιώσαντα αὐτοὺς παθεῖν ὑπὲρ τοῦ ἁγίου αὐτοῦ ὀνόματος.*

*Τοὺς τέσσαρας τούτους Νεομάρτυρας ἐδόξασε μὲν ὁ θεὸς πολλὰ δι' αὐτῶν ἐπιτελέσας καὶ καθ' ἑκάστην ἐπιτελῶν θαύματα, ἐτίμησαν δὲ ἥ τε ἐπαρχία Ἁγίου Βασιλείου, ἐξ ἧς προῆλθον, καὶ ἡ πόλις τῆς Ρεθύμνης, ἐν ᾗ τὸ αἷμα αὐτῶν ἐξέχεαν, εὐλαβῶς περισυλλέξασαι τὰ ἅγια αὐτῶν λείψανα καὶ ὡς θησαυρὸν ἀτίμητον καὶ ἀδαπάνητον διαφυλάττουσαι καὶ ἑορτὰς ἅμα συστήσασαι καὶ πανηγύρεις πρὸς τιμὴν καὶ δόξαν αὐτῶν. Πρὸς διαιώνισιν ὅμως τοῦ κλέους καὶ τῆς δόξης αὐτῶν ὑπελείπετο ἄχρι τοῦδε, ἓν καὶ μόνον, τὸ καὶ σπουδαιότατον, ἡ ἀνέγερσις δηλονότι ΝΑΟΥ περικαλλοῦς ἐπαξίου τῶν ὑπὲρ πατρίδος παλαισμάτων καὶ τῆς ὑπὲρ τῆς ἀμωμήτου ἡμῶν πίστεως μεγάλης αὐτῶν θυσίας, τῆς θυσίας τῶν κοσμικῶν αὐτῶν ἀγαθῶν καὶ τῆς ἰδίας προσέτι ζωῆς! Τὴν ἀνέγερσιν τοῦ ναοῦ τούτου ἐθεώρησεν ὡς τὸ ὕψιστον τῶν καθηκόντων αὐτῆς ἡ γενέθλιος κώμη τῶν Μαρτύρων αἱ ΜΕΛΑΜΠΕΣ, ἥτις καὶ ἤρξατο ἤδη τοῦ ἔργου τούτου. Ἐπειδὴ ὅμως ἀδυνατεῖ ἀφ' ἑαυτῆς ἵνα ἐπαρκέσῃ εἰς τὰς δαπάνας τοιαύτης οἰκοδομῆς, διὰ τοῦτο ἔγνω ἵνα προσδράμῃ καὶ εἰς τὴν προαιρετικὴν συνδρομὴν τῶν ἁπανταχοῦ εὐσεβῶν χριστιανῶν καὶ φιλοπατρίδων ἀνδρῶν καὶ ἐξαιτήσηται πάντων τὴν βοήθειαν καὶ ὑποστήριξιν. Πρὸς τὸν σκοπὸν δὲ τοῦτον μετατυποῦται κεκαθαρμένη καὶ συμπεπληρωμένη ἡ παροῦσα Ἀκολουθία τῶν Μαρτύρων καὶ διανέμεται τοῖς φιλομάρτυσιν. Ἡ κάτωθι δὲ ὑποσημειουμένη ἐπὶ τῆς*

ἀνεγέρσεως τοῦ Ναοῦ τούτου ΕΠΙΤΡΟΠΕΙΑ τρέφει τὴν γλυκεῖαν ἐλπίδα ὅτι θέλει τύχη τῆς προθύμου καὶ γενναίας ἀρωγῆς πάντων τῶν συμπατριωτῶν καὶ τῶν ἀπανταχοῦ εὐσεβῶν χριστιανῶν, εἷς καὶ ἐκφράζει πᾶσι τὰς θερμὰς καὶ προφρόνους αὐτῆς εὐχαριστίας ἐκ τῶν προτέρων, εὐχομένη ἅμα ὅπως οἱ Ἅγιοι οὗτοι Κρῆτες Νεομάρτυρες ἑκατονταπλασίονα ἀνταποδώσωσιν ἑκάστῳ τὴν βοήθειαν καὶ συνδρομὴν ἣν ἤθελε χορηγήσῃ.

Ἐν Μέλαμπες τῇ 1 Μαρτίου 1888

Ὁ Πρόεδρος. † Λάμπης καὶ Σφακίων Εὐμένιος.

Τὰ μέλη τῆς ἐπιτροπείας.

Ἐμμ. Μ. Φωτάκης Ἐμμ. Χαλκιαδάκης Κωνσταντῖνος Τρουλινάκης Μιχαὴλ Π. Παπαδομιχελάκης. Γεώργιος Βουλγαράκης. Μιχαὴλ Π. Ἐμμ. Χριστοφοράκης. Εὐθύμιος Γιαννακάκης. Ζαχαρίας Αναγνωστάκης. Μιχαὴλ Χριστοφοράκης. Μιχαὴλ Σταματάκης.

# ΤΗ ΚΗ΄ ΤΟΥ ΟΚΤΩΒΡΙΟΥ ΜΗΝΟΣ

## ΜΝΗΜΗ ΤΩΝ ΑΓΙΩΝ ΤΕΣΣΑΡΩΝ ΝΕΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΑΡΤΥΡΩΝ ΑΓΓΕΛΗ ΜΑΝΟΥΗΛ ΓΕΩΡΓΙΟΥ ΚΑΙ ΝΙΚΟΛΑΟΥ ΤΩΝ ΕΝ ΡΕΘΥΜΝΗ· ΤΗΣ ΚΡΗΤΗΣ ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ.

Ἑσπέρας, ἐν τῷ μεγάλῳ ἑσπερινῷ, στοιχολογοῦμεν τὸ «Μακάριος Ἀνήρ». Εἰς δὲ τὸ «Κύριε ἐκέκραξαν», ἱστῶμεν στιχ. ϛ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος α΄. Τῶν Οὐρανίων Ταγμάτων.

Οἱ θαυμαστοὶ Ἀθλοφόροι, τέσσαρες Μάρτυρες, σήμερον συγκαλοῦνται, τὴν σεπτὴν αὐτῶν μνήμην, τελέσαι ἐτησίως, διὸ καὶ ἡμεῖς, συνελθόντες τιμήσωμεν, ὡς ἐραστὰς τοῦ Κυρίου, καὶ καρτερῶς, ὑπὲρ πίστεως ἀθλήσαντας.

Πνευματικὴν νῦν χορείαν δεῦτε κροτήσωμεν, τοὺς μάρτυρας ὑμνοῦντες, καὶ ἐκ πόθου βοῶντες χαίρετε Γεώργιε, Ἀγγελῆ, Μανουὴλ καὶ Νικόλαε, οἱ τῶν Μελάμπων τῆς Λάμπης κλεινοὶ βλαστοί, καὶ Ρεθύμνης τὰ αὐχήματα.

Νῦν ἡ σεβάσμιος μνήμη, τῆς σῆς ἀθλήσεως, ἡμᾶς συναγαγοῦσα, εὐφημῆσαι προτρέπει, τὰ τρόπαια τοὺς ἄθλους καὶ τὰς λαμπρὰς, ἀριστείας ἐν ᾄσμασιν· ἐν τῇ παρούσῃ ἑσπέρᾳ τε καὶ νυκτὶ, Ἀγγελῆ ἀθλητικώτατε.

Ἀποτμηθεὶς διὰ ξίφους, πάσας ἐξέταμες, τὰς μηχανὰς τοῦ πλάνου καὶ δολίου τυράννου, ὦ Μανουὴλ θεόφρον, διὸ τοὺς πιστῶς, τὴν σὴν μνήμην γεραίροντας, ῥῦσαι τῶν τούτου παγίδων ταῖς πρὸς θεὸν, εὐπροσδέκτοις ἱκεσίαις σου.

Ἐπὶ τῇ μνήμῃ προθύμως δεῦτε συνέλθωμεν, τοῦ θείου Γεωργίου, καὶ λαμπρῶς εὐφρανθῶμεν, αὐτὸς γὰρ ἑστιάτωρ ὑ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

πάρχει ἡμῖν, τοῖς πιστῶς προσιοῦσιν αὐτῷ· καὶ τῶν δεινῶν ἀπαλλάττει ταῖς πρὸς Θεόν, ἱκεσίαις αὐτοῦ πάντοτε.

Τῶν Οὐρανίων τὰ κάλλη, ποθήσας ἔνδοξε ἵνα Χριστῷ συζήσῃς καὶ σὺν Ἀγγέλοις χορεύῃς παντοίας τὰς βασάνους ὑπέστης στερρῶς, Νεομάρτυς Νικόλαε, καὶ μαρτυρήσας γενναίως ὑπὲρ Χριστοῦ, συνευφραίνῃ τοῖς συνάθλοις σου.

Δόξα, ἦχος πλ. β'.

Δεῦτε φιλομάρτυρες, τοὺς νέους τοῦ Χριστοῦ Ἀθλοφόρους, ἐν ὕμνοις τιμήσωμεν, Γεώργιον τὸν ἀήττητον μάρτυρα, Νικόλαον καὶ Ἀγγελῆ καὶ Μανουὴλ τοὺς πολυάθλους, τὴν τετραυγῆ χορείαν τῶν Νεομαρτύρων. Οἵ, καλῶς ἀγωνισάμενοι κατὰ τῶν δυσσεβῶν ἐχθρῶν, καὶ βραβεῖα τῆς νίκης ἀναδησάμενοι πρεσβεύουσι Χριστῷ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων αὐτῶν τὴν πανήγυριν.

Καὶ νῦν. Τίς μὴ μακαρίσει σε. . . . .

Εἴσοδος Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε ὅτι ἐγώ εἰμι· ἔμπροσθεν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· Ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρή-



νῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν, εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Εἰς τὴν Λιτὴν στιχηρὰ Ἰδιόμελα*

Ἦχος α'.

Ἔπρεπε τῇ πολυθαυμάστῳ Κρήτῃ καὶ νέοις ἐγκαλλωπίζεσθαι μάρτυσιν· ἔπρεπε τῇ πεφοινιγμένῃ τοῖς μαρτυρικοῖς αἵμασι καὶ νέοις νέων μαρτύρων λύθροις ῥαντισθῆναι· ἔπρεπε τῷ τῆς Λάμπης καὶ Ρεθύμνης στερεώματι ἀνατεῖλαι νέους παμφαεῖς ἀστέρας, τοὺς καλλινίκους μάρτυρας, Γεώργιον, Ἀγγελῆν, Μανουὴλ καὶ Νικόλαον τοὺς ἀνδρείως ἐχθρῶν τὴν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἔπαρσιν καταβαλόντας καὶ πρεσβεύοντας τῷ Κυρίῳ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Εὐφραίνεται ἐν Κυρίῳ ἡ πόλις Ρεθυμνίων, ἡ τὰ μυροβόλα λείψανα κεκτημένη τῶν Νεομαρτύρων, Ἀγγελῆ, Μανουὴλ, Γεωργίου καὶ Νικολάου. Οὗτοι γὰρ οἱ μακάριοι πρὸς τὸν τοῦ μαρτυρίου ἀγῶνα εὐσεβῶς ἐναπεδύσαντο, καὶ ἀνδρείως ἐνήθλησαν, μηδόλως φεισάμενοι τοῦ γηΐνου αὐτῶν σώματος. Διὸ καὶ ὁ τῶν ἁπάντων Δεσπότης καὶ ἀθλοθέτης Χριστὸς, στεφάνοις ἀμαραντίνοις τὰς ἱερὰς αὐτῶν κεφαλὰς ἔστεψε, δωρησάμενος ἅμα αὐτοῖς τὴν ἀκένωτον τῶν θαυμάτων χάριν, ἣν πλουσίως οἱ τρισμάκαρες χορηγοῦσι καὶ ἡμῖν, τοῖς γηθοσύνως καὶ εὐσεβῶς τὴν ἱερὰν αὐτῶν μνήμην γεραίρουσιν.

Ἦχος β'.

Μαρτύρων καλλονὴ, τετράριθμοι τοῦ Χριστοῦ Νεομάρτυρες, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις πρεσβείαις ὑμῶν προκόπτειν ἡμᾶς ταῖς ἀρεταῖς καταξιώσατε, ὡς παρρησίαν ἔχοντες πρὸς αὐτὸν, ὃν τῇ ἐκχύσει τῶν πολυτίμων ἡμῶν αἱμάτων, ἐδοξάσατε· ὡς παριστάμενοι δὲ τῷ θρόνῳ αὐτοῦ, αἰτήσασθε δοθῆναι πᾶσιν ἡμῖν τοῖς τὴν ἁγίαν μνήμην ὑμῶν φαιδρῶς ἑορτάζουσιν, ἁμαρτιῶν συγχώρησιν, καὶ τελείαν ἀπαλλαγὴν τῶν ἀθέων τυράνων, ὧν τὰ ὀστᾶ παρὰ τὸν Ἅδην, Ἅγιοι, σκορπισθείησαν.

Ἦχος γ'.

Νέοι μὲν τοῖς σώμασιν ὑπάρχοντες, γηραιοὶ δὲ τῷ φρονήματι, Ἀθλοφόροι τετράριθμοι μάρτυρες, ἀνδρείως ηὐτομολήσατε πρὸς τὸ στάδιον, περιφραξάμενοι ἑαυτοὺς, τῷ θώρακι τῆς πίστεως, καὶ τῇ τῆς χάριτος ἀσπίδι, καὶ τῷ δόρατι τοῦ Σταυροῦ, ὅπλοις ἀκαταμαχήτοις, δι' ὧν τῶν δυσσεβῶν τυράννων τὸ ἀντίθεον θάρσος κατεβάλετε, καὶ κατηξιώθητε τῆς πρὸς Θεὸν παρρησίας καὶ τοῦ πρεσβεύειν ἀεὶ ὑπὲρ ὑμῶν τῶν τελούντων τὴν χαρμόσυνον ὑμῶν πανήγυριν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ἦχος δ'.

Ἀθλοφόροι τοῦ Χριστοῦ τετράριθμοι Νεομάρτυρες, πυρὶ καὶ σιδήρῳ τὰ σώματα ὑμῶν παραδόντες, ἀδαμάντων στερρότεροι ἀνεδείχθητε. Ὅθεν ἐπαξίως παρὰ Θεοῦ ἐδοξάσθητε, παρ' οὗ καὶ τὴν χάριν εἰλήφατε τοῦ δωρεῖσθαι τὰ ἰάματα τοῖς ἐπικαλουμένοις ὑμῶν τὰ ὀνόματα, καὶ τὴν μνήμην ὑμῶν, Ἅγιοι, ἑορτάζουσιν.

Ἦχος πλ. δ'.

Λάμπη καὶ Ρέθυμνα σήμερον ἀγάλλονται, ἑορτάζουσαι τοὺς ἀγῶνας, τῶν τεσσάρων αὐτῶν μαρτύρων. Οὗτοι γὰρ διὰ Χριστὸν τὸ αἷμα αὐτῶν προθύμως ἐξέχεαν, καὶ τὴν πατρῴαν αὐτῶν πίστιν τρανῶς ἐνώπιον τῶν τυράννων καὶ εὐθαρσῶς ὡμολόγησαν· διὸ καὶ τοὺς στεφάνους παρὰ Χριστοῦ τοῦ Θεοῦ ἀξίως λαβόντες, πρεσβεύουσιν ἀεὶ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. ά.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ τῷ ἐγείραντι ἐν τοῖς ἐσχάτοις τούτοις καιροῖς τοὺς καλλινίκους Νεομάρτυρας, Γεώργιον, Ἀγγελῆν Μανουὴλ καὶ Νικόλαον. Δεῦτε εὐφρανθῶμεν αὐτῶν τῇ πανηγύρει, εὐσεβῶς μελῳδοῦντες. Χαίρετε, οἱ τῆς πίστεως πρόμαχοι καὶ γενναῖοι Ἀθληταί. Χαίρετε Λάμπης τε καὶ Ρεθύμνης καὶ τῆς Κρήτης ἁπάσης οἱ φρουροὶ καὶ φύλακες. Χαίρετε, τῶν νοσούντων οἱ ἰατροὶ, τῶν ὀρφανῶν οἱ προστάται καὶ τῶν χειμαζομένων οἱ ἀντιλήπτορες. Χαίρετε, οἱ καὶ ἡμῶν τῶν γεραιρόντων τὴν σεβάσμιον ὑμῶν μνήμην ἔνθερμοι πρὸς Θεὸν πρεσβευταὶ, οἱ ἀπαύστως πρεσβεύοντες ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Μακαρίζομέν σε. . . . .

Ἀπόστιχα. Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν. . .

Τετρακτὺν τὴν ὑπέρτιμον, τῶν μαρτύρων τιμήσωμεν, ἐν ᾠδαῖς καὶ ᾄσμασι μακαρίζοντες, τὸν Μανουὴλ καὶ Νικόλαον, Γεώργιον ἅμα τε, καὶ τὸν θεῖον Ἀγγελῆ, τοὺς στερρῶς ἐναθλήσαντας, καὶ αἰσχύναντας, τὴν ὀφρῦν καὶ τὸ θράσος τοῦ Βελίαρ, τῇ δυνάμει τοῦ Σωτῆρος καὶ λυτρωτοῦ τῶν ψυχῶν ἡμῶν.

Στιχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Εὐθαρσῶς κατῃσχύνατε, τὴν δυσσέβειαν ἔνδοξοι, αἰκισμοὶ καὶ βάσανοι γὰρ οὐκ ἔσεισαν, τὸ σταθερὸν τὸ τῆς πίστεως, ὑμῶν Νεομάρτυρες, παρρησίᾳ δὲ Χριστῷ ἐκραυγάζετε Ἅγιοι· Τὰς ψυχὰς ἡμῶν, ὡς θυσίαν προσδέχου πανοικτίρμων, πανευώδη καὶ μαρτύρων, χοροῖς ἡμᾶς συναρίθμησον.

Στιχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Τὰ τῆς Λάμπης βλαστήματα, καὶ Ρεθύμνης στηρίγματα, καὶ Κρητῶν ἀμάραντα ἀγλαΐσματα, τοῦ παραδείσου οἰκήτορας τὰ ἄνθη τὰ εὔοσμα καὶ εὐπρόσδεκτα Χριστῷ, καὶ τερπνότατα σφάγια ἀναθήματα, οὐρανίου ναοῦ τε τὴν τετράδα, τῆς Τριάδος τὴν ἁγίαν, μετ᾽ εὐλαβείας ὑμνήσωμεν.

Δόξα. Ἦχος πλ. δ΄.

Δεῦτε φιλομάρτυρες πάντες, τὴν τετραυγῆ τῶν Μαρτύρων χορείαν, ἐν ᾠδαῖς καὶ ὕμνοις εὐφημήσωμεν, Μανουὴλ τὸν θεῖον, Ἀγγελῆ τὸν ἀοίδιμον, Νικόλαον καὶ Γεώργιον τοὺς θεόφρονας· ὅτι αἷματα ἔδωκαν καὶ ὠνήσαντο τὴν αἰώνιον ζωήν. Κροτήσωμεν τὰς χεῖρας μετ᾽ εὐφροσύνης ὅτι ἀνδρειοφρόνως ἀντέστησαν τοῖς τυράννοις καὶ ἑλκύσαντες τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ, ἐβρόντησαν κατ᾽ αὐτῶν λόγους σοφούς. Οὐ προκρίνομεν τὰ φθαρτὰ τῶν ἀφθάρτων, τὴν μεγαλουργὸν τῶν ὀρθοδόξων πίστιν οὐκ ἐξαρνούμεθα. Οὐδὲν ἡμᾶς χωρίσει τῆς ἀγάπης τοῦ Χριστοῦ, οὐ πῦρ, οὐ μάχαιρα, οὐδὲ σίδηρος. Τὸν Κύριον ἡμῶν καὶ θεόν, οὐκ ἐγκαταλείψομεν, τὸν ἀεὶ βοῶντα τοῖς πιστοῖς· ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται.

Καὶ νῦν. Θεοτοκίον.

Τὰ Οὐράνια ὑμνεῖ σε. . . . . .

Ἀπολυτίκιον ποιηθὲν ὑπὸ Μελετίου Ἀρχιεπισκόπου Κρήτης.

Ἦχος δ΄.

Τὴν πίστιν σεβόμενοι, τὴν ἀληθῆ εὐσεβῶς, Χριστὸν ἐκηρύξατε ἐπὶ ἀπίστων στερρῶς, τετράριθμοι μάρτυρες ξίφεσι τοὺς αὐχένας, ἀπετμήθητε πόθῳ. ὅθεν τοῖς τῶν μαρτύρων ἠριθμήθητε δήμοις. Καὶ νῦν ταῖς ἱκεσίαις ὑμῶν, ῥύσασθε κινδύνων ἡμᾶς.



Ἕτερον ποίημα Καλλινίκου Ἐπισκόπου Ρεθύμνης.
Ἦχος ὁ αὐτός.

Τῆς Κρήτης γεννήματα. καὶ Λάμπης θρέμματα, τοὺς τετραρίθμους Νεομάρτυρας ἀνευφημήσωμεν, Γεώργιον, Ἀγγελῆ, Μανουὴλ καὶ Νικόλαον. Οὗτοι γὰρ διὰ πίστιν τοῦ Κυρίου σφαγέντες, τὸ αἷμα αὐτῶν ἐθελουσίως ἐν τῇ Ρεθύμνῃ ἐξέχεαν· διὸ καὶ παρρησίαν ἔχοντες πρὸς Χριστόν, πρεσβεύουσιν ἀεί, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν Θεοτοκίον. Τὸ ἀπὸ αἰῶνος ἀπόκρυφον.

Ἀπολυτίκιον ἕτερον

Ἦχος γ΄.

Τὴν Καλλιμάρτυρα Κρήτην τιμήσωμεν, τὴν ἐξανθήσασαν καὶ νέους μάρτυρας, Γεώργιον Ἀγγελῆν Μανουὴλ καὶ τὸν Νικόλαον. Τέσσαρες γὰρ ὑπάρχοντες καὶ τῆς Λάμπης οἱ ἥρωες δύναμιν μυριόπλον τῶν τυράννων κατῄσχυναν διὸ καὶ τοὺς στεφάνους ἐδέξαντο, ἐν τῇ Ρεθύμνῃ σφαγέντες, μάρτυρες Χριστοῦ οἱ καρτερόψυχοι.

Θεοτοκίον. Σὲ τὴν μεσιτεύσασαν. . . .

## Εἰς τὸν Ὄρθρον.

Μετὰ τὴν α΄. Στιχολ. Καθίσματα.
Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τῆς Λάμπης οἱ λαμπροί, καὶ σεπτοὶ πολιοῦχοι, ἀθλήσαντες στερρῶς, ἐτροπώσαντο πίστει, τὸν ὄφιν τὸν ἀρχέκακον, καὶ νομίμως ἐστέφθησαν· τούτων σήμερον, τὴν ἀξιέπαινον μνήμην, ἑορτάζοντες, μεγαλοφώνως τὸν πάντων, δοξάζομεν Κύριον.

Δόξα ὅμοιον.

Τεσσάρων ἱερῶς, ἀθλησάντων μαρτύρων, τὴν θείαν καὶ σε-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

πτήν, ἑορτάζομεν μνήμην, τρυφῶντες τὰ θαύματα, καθ' ἑκάστην ὡς νάματα, ἅπερ βρύουσιν, ἐκ τῶν τιμίων λειψάνων ἀποπαύοντες, τὰς τῶν πιστῶν ἀσθενείας, δυνάμει τοῦ πνεύματος.

Καὶ νῦν. Θεοτοκίον.

Μαρία τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον. ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Μετὰ τὴν β'. Στιχολ. Ἦχος δ'. Ὁ Ὑψωθείς.

Καταβαλόντες τοῦ ἐχθροῦ τὰς ἐπάρσεις, τῇ καρτερίᾳ τῶν δεινῶν ἀθλοφόροι, τὸν οὐρανὸν ᾠκήσατε γηθόμενοι, Νικόλαε, Γεώργιε, Ἀγγελῆ, Μανουὴλ τε· ὅθεν μακαρίζεσθε εἰς αἰῶνα αἰῶνος, ὑπὲρ ἡμῶν πρεσβεύοντες Χριστῷ, τῶν ἐκτελούντων ὑμῶν τὰ μνημόσυνα.

Δόξα Ὅμοιον.

Οἱ Νεομάρτυρες Χριστοῦ οἱ γενναῖοι ἀγωνισάμενοι καλῶς, τὸν Βελίαρ, ὁλοτελῶς ἀπέπνιξαν αἱμάτων τοῖς κρουνοῖς· δέσμιοι γὰρ ἤχθησαν, καὶ εἱρκτῇ συγκλεισθέντες, ξίφεσιν ἐτμήθησαν, καὶ νικηφόροι ὤφθησαν διό, καὶ τοῖς μαρτύρων, χοροῖς ἠριθμήθησαν.

Καὶ νῦν. Θεοτοκίον,

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε. . . . . .

Μετὰ τὸν πολυέλεον. Ἦχος πλ. δ'. τὴν σοφίαν καὶ Λόγον.

Τῶν ἡλίου ἀκτίνων μᾶλλον ἡμεῖς, ἀπαστράπτοντες φέγγει μαρτυρικῷ ὑπέρλαμπροι μάρτυρες, Κρήτην πᾶσαν φωτίζετε, τὸν τῆς πλάνης ζόφον ἐκ μέσου διώκοντες, εὐσεβείας τὸ φάος πυρσεύετε ἅπασιν· ὅθεν εὐσχημόνως ὡς ἐν φαύσει ἡμέρας, τὴν τρίβον τῆς πίστεως, ἀπλανῶς διοδεύσαντες, τετράριθμοι Ἅγιοι· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.



Δόξα. Ὅμοιον.

Ἀκινδύνως τὸν δρόμον τὸν εὐσεβῆ, ἐν σταδίῳ ἀθλοῦντες οἱ εὐκλεεῖς, ἐλπίδι διήνυσαν τῶν στεφάνων ῥωννύμενοι· τοὺς γὰρ ὑπεναντίους εἰς τέλος ἐτρώποσαν, αἱμοσταγῆ τὴν νίκην αὐτῶν περαιώσαντες. Ὅθεν καὶ ἀφθόνως τοῖς αἰτοῦσιν ἐν πίστει, πηγάζουσι πάντοτε, τὴν πληθὺν τῶν ἰάσεων, οἷς ἐν πίστει, βοήσωμεν. Πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Καὶ νῦν Θεοτοκίον.

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ, Χαῖρε θρόνε καθέδρα βασιλικὴ κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμὺς ἁλουργόχροε, τιμαλφέστατον τέμενος, ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε. Χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλις, καὶ πύλη χρυσήλατε καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα. Χαῖρε ἔνδοξε νύμφη ἡλιοστάλακτε, Χαῖρε μόνη ψυχῶν ἡμῶν ἡ εὐπρέπεια.

Οἱ ἀναβαθμοί. Προκείμενον ἦχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στιχ. ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῦ ἑαυτοῦ Μαθηταῖς. Προσέχετε ἀπὸ τῶν ἀνθρώπων...

Δόξα. Ταῖς τῶν Ἀθλοφόρων. Καὶ νῦν ταῖς τῆς Θεοτόκου.

Στιχ. Ἐλέησόν με ὁ Θεός. Ἦχος πλ. β'.

Σήμερον ἡ τετραυγὴς τῶν μαρτύρων ὁμήγυρις, ὡς σελασφόρων ἀστέρων συνέλευσις, τοὺς πιστοὺς σελαγίζουσα πρὸς μυστικὴν εὐφροσύνην ἐκάλεσε. Σήμερον γὰρ Ἀγγελῆς καὶ Μανουήλ, Γεώργιος καὶ Νικόλαος, οἱ τοῦ Χριστοῦ νεομάρτυρες, ἐκέρασαν πλήρη τὸν ἀθλοφορικὸν αὐτῶν κρατῆρα· καὶ τοῖς διὰ Χριστὸν ἐκχυθεῖσιν αἵμασιν, ἑαυτοὺς ἔστεψαν, ἡμᾶς προτρεπόμενοι τοὺς εὐσεβείας ἐραστάς, πρὸς ἑστίασιν τῶν ἀγώνων αὐτῶν· πρὸς αὐτοὺς οὖν βοήσωμεν· μὴ παρασιωπήσητε, τοῦ βοᾶν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ὁ παρακλητικὸς Κανὼν τῆς Θεοτόκου

Καὶ τῶν Ἁγίων.

Ὁ παρὼν ποίημα Καλλινίκου ἐπισκόπου Ρεθύμνης.

Ὠδὴ ά. Ἦχος β'. Δεῦτε Λαοί

Δεῦτε πιστοί, ἅπαντες τὰς χεῖρας κροτήσωμεν, καὶ θεοφθόγγοις ᾄσμασι πανηγυρίσωμεν, τῶν τεσσάρων Μαρτύρων τοὺς ἄθλους, Χριστὸν δοξολογοῦντες, ὅτι δεδόξασται.

Ὅπλον ἡμῖν, θεῖον ἐδόθη καὶ καύχημα, τὸ τοῦ Σωτῆρος τρόπαιον, ἡ ἀκαθαίρετος τοῦ Σταυροῦ πανοπλία, δι' ἧς οἱ τετράριθμοι μάρτυρες ἐστεφανώθησαν.

Ξίφος βασάνους, βόθρον τε σταυρὸν καὶ θάνατον, τοῖς ἀοιδίμοις τέσσαρσι μάρτυσιν ὑπανέτειναν, οἱ τοῦ θείου διῶκται, ζωὴν πρὸς τὴν ἀγήρω αὐτοὺς ἐλαύνοντες.

Θεοτοκίον.

Ἄρτον ζωῆς, τέτοκας τὸν ἐπουράνιον, σεσαρκωμένον Πάναγνε, τὸν ἐνυπόστατον τοῦ Γεννήτορος Λόγον· διό σε καὶ οἱ τέσσαρες μάρτυρες δοξάζουσιν.

Ἕτερος· Ποίημα ἀνωνύμου.

Ὠδὴ ά. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου...

Βυθῷ χειμαζόμενος, τῆς ἁμαρτίας φιλάνθρωπε, πρὸς μόνον τὸ πέλαγος, τῆς εὐσπλαγχνίας σου, ἀτενίζω μου, τὸ ὄμμα τῆς καρδίας, κυβέρνησον, σῶσόν με, τῶν Ἀθλοφόρων εὐχαῖς.

Ὁ ἄδυτος Ἥλιος, ὑμᾶς ἀστέρας ἀνέδειξεν, ἐν τῷ στερεώματι τῆς ἐκκλησίας αὐτοῦ καταυγάζοντας, τῇ λάμψει τῶν ἀγώνων, Νεομάρτυρες ἔνδοξοι, ταύτης τὸ πλήρωμα.

Ἱστίῳ πτερούμενοι, πνεύματος θείου τὸ πέλαγος, ἀβρόχως διήλθετε, Νεομάρτυρες τῶν κολάσεων· καὶ νῦν πρὸς θεῖον ὅρμον, τῆς ἄνω λαμπρότητος, κατεσκηνώσατε.

Σταυρὸν ὥπερ θώρακα, ἐνδεδυμένοι μακάριοι, ἐχθρὸν τὸν



ἀσώματον, κατεπαλαίσατε, μετὰ σώματος, βασάνους πολυπλόκους, καὶ θάνατον ἄδικον καθυπομείναντες.

Θεοτοκίον.

Χαρᾶς ἡμῖν πρόξενος, ὡς δεξαμένη τὸ πλήρωμα, τῆς ὅλης Θεότητος, ὤφθης πανάμωμε, ὅθεν πάντες σου, τὸ χαῖρε τοῦ Ἀγγέλου, συμφώνως κραυγάζομεν Θεοχαρίτωτε.

Ὠδὴ γ. Τῆς πίστεως ἐν πέτρᾳ με.

Καθεῖλον οἱ ἐν Ρεθύμνῃ τέσσαρες μάρτυρες, τῷ πάθει σου τῷ θείῳ δυναμωθέντες, τῆς πλάνης τὴν σκοτόμαιναν θαρσαλέως, ἐν πίστει κράζοντες· σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλήν σου Κύριε.

Ρανίσι θείου αἵματος ραντισθέντες, τυράννου βδελυξάμενοι ἀνομίαν, θυσία προσηνέχθητε τῷ Κυρίῳ, ἐκκοπτόμενοι καὶ πίστει κράζοντες, ὡς οὐκ ἔστιν ἅγιος πλήν σου Κύριε.

Ὅλον σε κεκτημένοι οἱ ἀθλοφόροι, ταῖς ἑαυτῶν καρδίας ἐνοικισθέντα, τρανοῦντες τὴν εὐσέβειαν ἀνεβόων· οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλήν σου Κύριε.

Θεοτοκίον.

Τὴν μόνην παρθενεύουσαν μετὰ τόκον, πρὸς δεῖξιν τῆς Θεότητος τοῦ τεχθέντος, τιμῶμέν σε κραυγάζοντες τῷ υἱῷ σου, οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλήν σου Κύριε.

Ἕτερος. Τοὺς σοὺς ὑμνολόγους.

Ὡς βότρυες θεῖοι γεγονότες, ἀμπέλου τῆς θείας ἀληθῶς, ἀθλήσεως προχέουσιν, οἶνον ἡμῖν οἱ Μάρτυρες πνευματικῶς εὐφραίνοντα, τὰς διανοίας ἐν χάριτι.

Αἰνέσεως πάντες συμφωνίᾳ ὑμνήσωμεν σήμερον πιστῶς, Νικόλαον, Γεώργιον, Μανουὴλ τε καὶ Ἀγγελῆν, τῆς ἀληθείας Μάρτυρας, γεγενημένους ἐν πνεύματι.

Δεῦτε ἡ πληθὺς τῶν Χριστωνύμων, Κυρίου τοὺς Μάρτυρας

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

πιστῶς, αἰνέσωμεν καὶ στέψωμεν αὐτῶν τὰς κάρας ᾄσμασι, πνευματικοῖς τὰς πανσέπτους, πταισμάτων λύσιν, ὡς εὕρωμεν.

Θεοτοκίον.

Ὡς κλίμακα γηθέν σε Παρθένε, ὁ κτίστης προθέμενος βροτοῖς, ἐκ κατωτάτων θλίψεων, καὶ ἐκ φθορᾶς πρὸς ἄφθαρτον, ζωὴν ταῖς ἱκεσίαις σου, ἀναβιβάζει τοῖς ὑμνοῦντάς σε.

Κάθισμα Ἦχος γ'. Θείας Πίστεως.

Γόνοι ἔντιμοι τῆς Λάμπης ὄντες, στῦλοι ἄσειστοι Ρεθύμνης ἅμα, φύλακες θεῖοι αὐτῶν ἐνυπάρχετε. Τῆς μὲν γὰρ κλάδοι σεπτοὶ ἀνεδείχθητε, τὴν δὲ τοῦ αἵμασιν ὑμῶν ἐλαμπρύνατε Νέοι Μάρτυρες Χριστὸν τὸν Θεὸν ἱκετεύσατε τοῦ δοῦναι ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν.

Δόξα, Καὶ νῦν. Θεοτοκίον.

Θαῦμα μέγιστον, πῶς συνεσχέθη, ὁ ἀχώρητος ἐν τῇ γαστρί σου, καὶ ἐσαρκώθη καὶ ἐφάνη ὡς ἄνθρωπος μὴ ὑπομείνας φυρμὸν ἢ διαίρεσιν, τῆς θεϊκῆς καὶ ἀτρέπτου Θεότητος, Κόρη πάναγνε· διὸ Θεοτόκον σε πίστει, κηρύττομεν ἀεὶ καὶ δοξάζομεν.

Ἕτερον, Ἦχος α. Τὸν τάφον σου.

Τετράριθμος χορός, τῶν Μαρτύρων ὑμνείσθω, αὐτοὶ γὰρ τὴν ἡμῶν, ἐκδιώκουσι βλάβην, ὡς φύλακες τῆς πίστεως, ἐκκλησίας προπύργια οὗτοι φάλαγγας, ἀποσοβοῦσι δαιμόνων, καὶ πρεσβεύουσιν, ὑπὲρ ἡμῶν τὸν Δεσπότην, εἰρήνην βραβεύοντες.

Θεοτοκίον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, παρθένον ἀληθῶς, καὶ μετὰ τόκον ὀφθεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν τὴν μόνην πανάμωμον.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε τὴν ἀκοήν.



Ὡραιοτάτην στολήν, πεφοινιγμένην εὐσεβῶς αἵματι μαρτυρικῷ, καὶ λελαμπρυσμένην τῇ χάριτι τῇ σῇ, νῦν οἱ ἐν Ρεθύμνῃ, μάρτυρες Χριστοῦ ἠμφιάσαντο.

Χάρις καὶ ἔλεος, τοῦ Παντοκράτορος Θεοῦ, στέφουσι τοὺς ἀθλητάς· τῷ πόθῳ κατάλληλον νέμοντος ἰσχύν, δι' ἧς νικηφόροι ἐδείχθησαν, οἱ ἐν Ρεθύμνῃ Νεομάρτυρες.

Ράβδον δυνάμεως, τοῖς νεομάρτυσι τὸν σταυρὸν δέδωκας, καὶ τῶν ἐχθρῶν κατακυριεύοντας, ἐποίησας τούτους. Διό σου ὑμνοῦμεν Χριστὲ τὴν Θεότητα.

Θεοτοκίον.

Ἱερουργὸν ἐκ Δαβίδ, καταγομένη τὸν Χριστὸν τέτοκας, ὅθεν Ἁγνὴ τῆς Ἱερωσύνης μετατιθεμένης, ἀνάγκῃ καὶ νόμου μετάθεσις γίνεται.

Ἕτερος ἐξέστη τὰ σύμπαντα.

Τὰ ἄνθη τὰ πνέοντα, ὀσμὴν ἐνθέου γνώσεως τῆς θεογνωσίας τοὺς λειμῶνας, τοῦ Παραδείσου δένδρα τὰ ἔγκαρπα, τοὺς περικαλεῖς καὶ φωταυγεῖς, Μάρτυρας ὑμνήσωμεν, καὶ πιστῶς μακαρίσωμεν.

Σωμάτων νοσήματα, καὶ τῶν ψυχῶν Νεομάρτυρες, παύονται τῶν θείων ὑμῶν λειψάνων προσκυνουμένων, καὶ τιμωμένων σεπτῶς. Χριστὸς γὰρ δεδώρηται ἡμῖν ταῦτα ἰατήριον καὶ δεινῶν ἀμυντήριον.

Ὑμνείσθω Γεώργιος, μεγαλυνέσθω Νικόλαος, ἅμα Μανουὴλ δὲ ὁ γενναῖος, ἀνευφημείσθω πίστει Ἀγγελῆς, οἱ τῆς ἐκκλησίας ἀκλινεῖς, στῦλοι καὶ θεμέλιοι ἀρραγεῖς χρηματίσαντες.

Θεοτοκίον.

Ρομφαία τὸ πρότερον, ἡ τὴν Ἐδὲμ φυλάττουσα νῶτα τοῖς πιστοῖς Ἁγνὴ παρέχει, σημειουμένοις τιμίῳ αἵματι, κενωθέντι ἐκ πλευρᾶς, λόγχης ἐκκεντήματι, τοῦ ἐκ σοῦ ἀνατείλαντος.

Ὠδὴ στ'. Ἄβυσσος ἁμαρτιῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἐμιμήσαντο τὸ πάθος σου, τοῦ ἀπαθοῦς προθύμως, τῷ θανάτῳ ἑαυτοὺς ἐκδόντες, οἱ ἐν Ρεθύμνῃ τέσσαρες μάρτυρες.

Ἱκετεύοντας πρόσδεξαι τοὺς νεομάρτυρας, καὶ λύσιν τῶν πταισμάτων, πειρασμῶν τε δίδου ἡμῖν, πρεσβείαις αὐτῶν καὶ εὐχαῖς.

Σεσιώπηται ἅπασα πλάνη δαιμόνων Χριστέ. Θεὸν γάρ σε τὸν ὄντως ἀληθῆ οἱ ἐν Ρεθύμνῃ μάρτυρες ἐνεκήρυξαν.

Θεοτοκίον.

Θεοτόκον σε ἔσεβον οἱ νεομάρτυρες, Θεὸν σεσαρκωμένον τὸν υἱόν σου, Δέσποινα καταγγέλλοντες.

Ἕτερος. Ὁ καθήμενος ἐν δόξῃ.

Λαμπρυνόμενοι τῷ κάλλει τῆς ἀρίστης ἀθλήσεως, φαεινοὶ Λαμπτῆρες, Μάρτυρες Χριστοῦ ἀνεδείχθητε, φαεινοτάταις ἀκτῖσι καταυγάζοντες, τοὺς κραυγάζοντας· Δόξα Χριστὲ τῇ δυνάμει σου.

Μίαν γνώμην διαφόροις, αἰκιζόμενοι σώμασιν, οἱ Χριστοῦ ὁπλῖται, ὑπερβολικῶς ἐπεδείξαντο ἕνα Θεὸν ἐν σταδίῳ ὡμολόγησαν, καὶ ἀντίθεον, πλάνην σαφῶς ἐξηφάνισαν.

Ὡς γενναῖοι στρατιῶται, ὡς ἀήττητοι Μάρτυρες, οἱ Χριστοῦ ὁπλῖται, ὡς τῆς εὐσεβείας ὑπέρμαχοι, τὰς οὐρανίους σκηνώσεις ἐκληρώσασθε, καὶ χοροῖς τῶν Ἀγγέλων, ἀεὶ ἐπαγάλλεσθε.

Τῶν ποικίλων πειρασμῶν τε, καὶ κινδύνων τὴν ἔφοδον, ταῖς ὑμῶν πρεσβείαις, ταῖς πρὸς τὸν Θεὸν διακρούσασθε, τῶν ἐκτελούντων ἐν πίστει τὴν πανίερον, καὶ πανέορτον, μνήμην ὑμῶν ἀξιάγαστοι.

Θεοτοκίον.

Τὴν πανάχραντον Μαρίαν, Θεοτόκον ὑμνήσωμεν, τὴν γεννησαμένην, τῆς δικαιοσύνης τὸν Ἥλιον, τὴν ἐπουράνιον πύλην τὴν εἰσάγουσαν, τοὺς δοξάζοντας ταύτην, Θεοῦ εἰς βασίλεια.



Ὠδὴ στ'. Ἄβυσσος ἁμαρτιῶν.

Σάλπιγγος ἠχὴ κροτείτω, πνευματικὴ ἐπαξίως, λογικῶν χειλέων καρδία ὕμνον ἐκπέμπουσα, καὶ μέλπουσα τῶν ἐν Ρεθύμνῃ νεομαρτύρων τοὺς ἄθλους.

Τέτρωνται τῶν ἀσεβούντων καὶ δυσμενῶν αἱ καρδίαι, Χριστὸς γὰρ ἐκτείνας τὸν σταυρὸν ὡς τόξον, ἀπέστειλε τοὺς μάρτυρας βέλη ἠκονημένα.

Ὅπλοις τῆς δικαιοσύνης καὶ πίστεως οἱ νεομάρτυρες, ἑαυτοὺς πρὸς πάλην ἐχθρῶν ἀσάρκων καθώπλισαν. καὶ τέλεον ἐξηφάνισαν αὐτούς.

Θεοτοκίον.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν.

Ἕτερος. Τὴν θείαν ταύτην.

Σοφῶς ὁ θεῖος Γεώργιος, Ἀγγελῆς τε Μανουὴλ καὶ Νικόλαος, πλοῦτον ἐπίκηρον, καὶ δυναστείαν καταπατήσαντες, τῆς αἰωνίου δόξης κατηξιώθησαν.

Πηγὴν ἰάσεων ἔχοντες, τὰς κάρας ὑμῶν Νεομάρτυρες, θερμῶς προστρέχομεν, ταύταις προσκύνησιν νέμοντες, καὶ τὸν Θεὸν ὑμνοῦντες τὸν ὑμᾶς δοξάσαντα.

Χάριν μεγίστην ἀπειλήφατε, Θεόθεν ἀθληταὶ γενναιότατοι, Μάρτυρες ἔνδοξοι· κάρας ὑμῶν γὰρ ὁ Κύριος, τῶν ἰαμάτων κρήνας σαφῶς εἰργάσατο.

Θεοτοκίον.

Τὸ πῦρ ἐν σοὶ τῆς θεότητος, ἐσκήνωσεν ἁγνὴ Θεονύμφευτε, καὶ οὐ κατέφλεξε, τὴν σὴν νηδὺν παμμακάριστε, ἐδρόσισε δὲ μᾶλλον καὶ κατεφώτισε.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τῇ πίστει Χριστοῦ, τραφέντες παναοίδιμοι, τὸν θεῖον Σταυρὸν ὡς θώρακα κατέχοντες, ἀσεβῶν φρυάγματα καὶ μανίαν στερρῶς κατεβάλετε, ἀθλοφόροι τετράριθμοι, πρεσβείας ποιοῦντες ὑπὲρ πάντων ἡμῶν.

Ἕτερον. Ἦχος ά. Χορὸς Ἀγγελικός.

Μαρτύρων τοῦ Χριστοῦ, τὴν τετράριθμον δόξαν, ὑμνήσωμεν πιστοί, εὐφημίαις ᾀσμάτων, Ἀγγελῆν, Γεώργιον, Μανουὴλ

καὶ Νικόλαον· οὗτοι ἤθλησαν, μέχρι τομῆς καὶ θανάτου· οὗτοι στέφανον τῆς ἀφθαρσίας λαβόντες, αἰτοῦσι σωθῆναι ἡμᾶς.

Ὁ Οἶκος.

Τὸν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας τυθέντα Χριστὸν τὸν Θεὸν ποθοῦντες οἱ νέοι Μάρτυρες, σπεύδουσι θανεῖν ὑπὲρ αὐτοῦ πόθον μέγαν τε καὶ θεῖον ἐν καρδίᾳ ἐσχηκότες, αὐτοὶ ἑαυτοὺς προσήγαγον· τούτους οὖν καὶ ἡμεῖς, τοὺς τέσσαρας Νεομάρτυρας, ὡς θερμοὺς προστάτας ἀνυμνήσωμεν πίστει, ὡς ἐνδόξους ὄντας Χριστοῦ δούλους, μιμουμένους σαφῶς τὸν ἴδιον Δεσπότην, καὶ πρεσβείας ποιοῦντας ὑπὲρ πάντων ἡμῶν.

Τῇ ΚΗ΄. Ὀκτωβρίου μνήμην ἐπιτελοῦμεν τῶν Ἁγίων ἐνδόξων τεσσάρων Νεομαρτύρων ***Ἀγγελῆ, Μανουήλ, Γεωργίου*** καὶ ***Νικολάου***, τῶν ἐν Ρεθύμνῃ τῆς Κρήτης μαρτυρησάντων

Δὶς δύο οὐράνιοι ὁπλῖται

Ἐχθρὸν καταβαλόντες εἰς οὐρανοὺς ἀνῆλθον·

Ὀγδοάτῃ ἄορ εἰκάδι δὶς δύο τέμει μαρτύρων αὐχένας.

Οἱ τέσσαρες οὗτοι Νεομάρτυρες εἶδον τὸ φῶς τοῦ ἡλίου ἐν τῇ κώμῃ τῆς ἐν τῇ Νήσῳ Κρήτῃ Ἐπισκοπῆς Λάμπης, ***Μέλαμπες***, γεννηθέντες ἐκ γονέων Θεοσεβῶν ἐν τῷ κρυπτῷ μὲν ὁμολογούντων καὶ θεραπευόντων τὴν ὀρθόδοξον πίστιν, ἐν τῷ φανερῷ δὲ παρουσιαζομένων ὡς Μωαμεθανῶν. Ἦσαν δὲ ὁ μὲν Μανουὴλ καὶ Ἀγγελῆς υἱοὶ Ἰωάννου Ρετζέπη, γνήσιοι τ. ε. ἀδελφοί, ὁ δὲ Γεώργιος υἱὸς Κωνσταντίνου Ρετζέπη καὶ ὁ Νικόλαος υἱὸς Ἰωάννου Ρετζέπη· παντες ἑνὶ λόγῳ συγγενεῖς, νέοι, πλούσιοι καὶ ἐπὶ ἀνδρείᾳ διακρινόμενοι, νενυμφευμένοι καὶ πατέρες τέκνων. Ἀπήλαυον δὲ πάντων τῶν προνομίων καὶ τῶν ευδοσιῶν τῶν ὀθωμανῶν ὡς ὑποκρινόμενοι τὸν Μωαμεθανισμόν, οὔτε φόρους τελοῦντες, οὔτε ὑπὸ τῶν ὀθωμανῶν παρενοχλούμενοι.

Ὅτε ὅμως τῷ ͵αωκα΄ οἱ χριστιανοὶ ἦραν τὰ ὅπλα κατὰ τῶν τυράννων τῆς ἑαυτῶν πατρίδος, τῶν Τούρκων, καὶ ἐμάχοντο ὑπὲρ τῆς ἐλευθερίας, τότε καὶ οἱ θεῖοι οὗτοι Μάρτυρες συνετάχθησαν μετὰ τῶν χριστιανῶν καὶ ἀνδρείως ἐπολέμησαν ὑπὲρ πίστεως καὶ πατρίδος. Μετὰ τριετῆ ὅμως νικηφόρον ἀγῶνα οἱ χριστιανοὶ ἠναγκάσθησαν νὰ ὑποκύψωσι καὶ αὖθις εἰς τὸν Τουρκικὸν ζυγόν, τῷ ͵αωκδ΄, καταδαμασθέντες ὑπὸ τῶν ἐξ Αἰγύπτου ἐπιδραμόντων ἐπικουρικῶν στρατευμάτων. Τότε ἀφοπλίζονται οἱ χριστιανοὶ καὶ πληθὺς γυναικῶν καὶ παιδίων ἀπάγονται εἰς αἰχμαλωσίαν. Οἱ θεῖοι Μάρτυρες δὲ διασωθέντες ἐκ τοῦ πολέμου διέμενον ἐν τῇ γενεθλίῳ αὐτῶν κώμῃ ἀναφανδὸν πλέον ἐκπληροῦντες τὰ ἑαυτῶν χριστιανικὰ καθήκοντα. Μετ᾽ οὐ πολὺ ὅμως ἐπειδὴ αἱ Ἀρχαὶ ἤρξαντο εἰσπράττουσαι τοὺς φόρους παρὰ τῶν ὑπο-



δουλωθέντων χριστιανῶν οἱ Ἅγιοι ἔσπευσαν πρῶτοι νὰ ἀποτίσωσι τοὺς ἑαυτῶν φόρους, ὅπερ ἀπήρεσε τοῖς ὀθωμανοῖς, οἵτινες τὸ μὲν πρῶτον διὰ θωπειῶν καὶ κολακειῶν προυτρέποντο αὐτοὺς ἵνα ἀποπτύσωσι τὴν χριστιανικὴν θρησκείαν καὶ ἐγκολπωθῶσι τὴν τῶν ὀθωμανῶν, εἶτα δὲ ἀπελπισθέντες περὶ τῆς ἐπιστροφῆς αὐτῶν κατήγγειλαν αὐτοὺς τῷ τότε Διοικητῇ τῆς πόλεως Ρεθύμνης Μεχμὲτ Πασσᾷ. Ὁ Διοικητὴς πληροφορηθεὶς ταῦτα ἐγένετο ἔξαλλος ὑπὸ τῆς ὀργῆς καὶ ἀποστείλας συνέλαβε τοὺς Μάρτυρας καὶ δεσμίους ἀπήγαγεν εἰς Ρεθύμνην ἔνθα δι᾽ ὑποσχέσεων καὶ κολακειῶν ἠγωνίσθη νὰ πείσῃ αὐτοὺς ἵνα ἐπιστρέψωσιν εἰς τὴν πίστιν τοῦ Ἰσλάμ. Ἐπειδὴ ὅμως οὐδὲν ἕτερον ἤκουεν ἐκ τοῦ στόματος αὐτῶν ἢ ὅτι «χριστιανοὶ ἐγεννήθημεν καὶ χριστιανοὶ θέλομεν ἀποθάνῃ», ἔρριψεν αὐτοὺς εἰς εἱρκτὴν καὶ ὑπέβαλεν εἰς φρικώδη βασανιστήρια. Ἀλλ᾽ οὐδ᾽ ἡ εἱρκτὴ οὐδὲ τὰ βασανιστήρια ἴσχυσαν νὰ μεταπείσωσι τοὺς θείους Μάρτυρας, οἵτινες εἰς τε τὰς ὑποσχέσεις καὶ τὰς ἀπειλὰς ἀντέταττον ὅτι «ἐκ προγόνων εἰσὶ χριστιανοὶ καὶ χριστιανοὶ ὑπὲρ Χριστοῦ θέλουσιν ἀποθάνῃ.

Βλέπων ὁ Διοικητὴς τὸ ἀμετάθετον τῆς γνώμης καὶ τὸ ἑδραῖον αὐτῶν ἐν τῇ χριστιανικῇ πίστει, καὶ ὅτι οὔτε δῶρα, οὔτε ὑποσχέσεις, οὔτε ἀπειλαὶ καὶ βασανιστήρια ἰσχύουσιν ἵνα μεταβάλωσιν αὐτῶν τὸ εὐσεβὲς φρόνημα, ἀποφασίζει ἵνα ἄρῃ τὴν ζωὴν αὐτῶν καὶ καταδικάζει αὐτοὺς εἰς θάνατον. Ἐκδοθείσης τῆς ἀποφάσεως, παραλαμβάνουσι τοὺς ἁγίους οἱ δήμιοι, ἄγουσιν εἰς τόπον λεγόμενον «Μεγάλη Πόρτα τῆς Ρεθύμνης, καὶ ἐκεῖ ἀποκόπτουσι τὰς ἱερὰς κεφαλὰς αὐτῶν ἀναβοώντων τὸ «Κύριε ἐλέησον. Οὕτως ἐμαρτύρησαν οἱ Κρῆτες οὗτοι Νεομάρτυρες, ὧν τὰ πάνσεπτα λείψανα πρὸς περιφρόνησιν κατελείφθησαν ἄταφα εἰς τὸν τόπον ἐκεῖνον ἐπὶ τρεῖς ἡμέρας. Ἀλλ᾽ ὢ τοῦ θαύματος! οἱ ταχθέντες πρὸς φύλαξιν τῶν λειψάνων ὀθωμανοὶ ἔβλεπον καθ᾽ ἑκάστην νύκτα φῶς πλανώμενον ἐπ᾽ αὐτῶν καὶ ἀντὶ νὰ ἐννοήσωσι τὸ θαῦμα, δι᾽ οὗ ὁ Θεὸς ἠθέλησεν εὐθὺς ἐξ ἀρχῆς νὰ δοξάσῃ τοὺς Ἁγίους καὶ ἐπιστρέψωσι πρὸς τὸν Θεόν, τοὐναντίον ἐπὶ μᾶλλον ἐσκληρύνθησαν ἐν τῇ ἀπιστίᾳ καὶ βλασφημοῦντες τοὺς Μάρτυρας, ὠνείδιζον λέγοντες ἐν τῇ πωρώσει τῆς ἑαυτῶν καρδίας, ὅτι κατῆλθε πῦρ ἐκ τοῦ οὐρανοῦ ἵνα κατακαύσῃ αὐτούς!

Τὴν τρίτην τέλος ἡμέραν οἱ χριστιανοὶ τῆς πόλεως Ρεθύμνης ἀναφερθέντες εἰς τὸν διερμηνέα τοῦ Διοικητοῦ Μανουὴλ Παπαδάκην, ἐζήτησαν τὰ λείψανα τῶν Μαρτύρων παρ᾽ αὐτοῦ, ὅστις λαβὼν ταῦτα παρὰ τοῦ Διοικητοῦ παρέδωκε τῷ Ἀντωνίῳ Πουρδούνῃ καὶ τῷ Γεωργίῳ Λαγῷ, οἵτινες μετ᾽ ἄλλων τινων μετεκόμισαν ταῦτα μετ᾽ εὐλαβείας εἰς τὴν ἔξωθεν τῆς Ρεθύμνης κώμην Περιβόλια, ἔνθα τὰ ἐνεταφίασαν ἐν τῇ Μονῇ τοῦ Ἁγίου Γεωργίου. Τὸ δὲ ἐκχυθὲν αἷμα καὶ τὰ ἱμάτια τῶν Μαρτύρων εὐλαβῶς καὶ μετ᾽ ἐπιμελείας περισυνέλεξαν οἱ χριστιανοὶ καὶ διατηροῦσιν ὡς πολύτιμα κειμήλια ποιοῦντα πάμπολα θαύματα. Μετὰ παρέλευσιν δὲ ἑνὸς ἔτους ὁ τότε

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

προχειρισθεὶς ἐπίσκοπος Ρεθύμνης Ἰωαννίκιος ἐξέθαψε τὰ ἅγια
Λείψανα, καὶ τὰς μὲν Κάρας καὶ μέρος τῶν λειψάνων ἐναπεθησαύρι-
σεν ἐν τῇ ἐν Ρεθύμνῃ ἐπισκοπικῇ ἐκκλησίᾳ, τὴν ἑτέραν Κάραν παρέ-
δωκε Πλοιάρχῳ τινὶ Ρώσσῳ κομίσαντι ταύτην εἰς Ρωσσίαν, τὰ δὲ
λοιπὰ λείψανα ἀπέστειλεν εἰς τὴν μεγαλώνυμον Μονὴν τοῦ Ἀρκαδί-
ου. Οὐκ ὀλίγα δὲ ἔλαβον καὶ εὐσεβεῖς χριστιανοί, Κληρικοί τε καὶ Λα-
ϊκοὶ ὡς θησαυρὸν ἀτίμητον διατηροῦντες αὐτά, ἅτινα καθ' ἑκάστην
θαυματουργοῦσι παρέχοντα ἰάματα τοῖς μετὰ πίστεως θερμῆς καὶ ζώ-
σης προστρέχουσι καὶ ἐπικαλουμένοις τὸ ἱερὸν τῶν Μαρτύρων ὄνομα.
Οὕτω γὰρ εἴωθε τιμᾷν καὶ δοξάζειν τοὺς ἁγίους ὁ ἐν Ἁγίοις θαυμα-
στὸς Κύριος.

Ταῖς τῶν Νεομαρτύρων δὲ πρεσβείαις καὶ ἱκεσίαις καταξιῶσαι καὶ ἡμᾶς ὁ Κύριος ἡμέρας ἰδεῖν ἀγαθὰς, πανηγυρίσαι τὴν ἐλευθερίαν τῆς Μεγαλομάρτυρος Πατρίδος ἡμῶν, καὶ κληρονομῆσαι τὴν αἰώνιον βασιλείαν. Ἀμήν.

Ὠδὴ ζ'. Εἰκόνος Χρυσῆς.

Σαρκῶν Δανιήλ, οὐ κατίσχυσάν ποτε Λεόντων στόματα, ἀλλ' οὐδὲ θάνατος τῶν Νεομαρτύρων σου· ἐν χειρί σου γὰρ Κύριε, ζῶσιν αἱ ψυχαὶ τῶν δικαίων, ἀγαλλιῶσαι καὶ ψάλλουσαι. Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἡ φλὸξ τοῖς τρισίν, ἐδροσίζετο παισὶν ἐν Βαβυλῶνί ποτε. τοῖς Νεομάρτυσι δὲ ἡ παράνομος κατεφλέγετο ἄνοια· ὅθεν τὴν ἀπάτην, ὁρῶντες τεφρουμένην ἐκραύγαζον, Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τῷ πόθῳ Χριστέ, ἐκκαιόμενοι τῷ σῷ οἱ Νεομάρτυρες, ὥσπερ ἀνάλωτον περικείμενοι τὸ τῆς σαρκὸς περιβόλαιον, βασάνων ἀλγεινῶν κατεφρόνουν, σοὶ ἐντρυφῶντες καὶ λέγοντες· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Σὲ βάτον Μωσῆς, ἐν τῷ ὄρει τῷ Σινᾷ πυρπολουμένην, Ἁγνὴ προὐθεώρει τὴν ἐνέγκασαν, ἀκαταφλέκτως τὴν ἄστεκτον, αἴγλην τῆς ἀρρήτου οὐσίας ἑνωθείσης παχύτητι, σαρκὸς μιᾶς τῶν ἐν αὐτῇ, ἁγίων ὑποστάσεων,

Ἕτερος. Οὐκ ἐλάτρευσαν.

Ἐπὶ πέτραν θείας γνώσεως ἐρείσαντες, τὰς βάσεις Ἔνδοξοι, τῶν καρδιῶν ὑμῶν, ἐχθρῶν μηχανήμασιν οὐ παρετράπητε, ἀ-
ανμέλποντες· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητός εἶ,
Φῶς ἀνέσπερον, ἀθλήσασι δι' αἵματος, ὑμῖν ἀνέτειλεν,



καὶ εὐφροσύνη σαφῶς, ὑμᾶς διεδέξατο ὦ Νεομάρτυρες, ἀνα-
μέλποντας. Ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ·

Μεγαλύνομεν ὑμῶν τοὺς ἄθλους ἔνδοξοι, Νεομάρτυρες Χριστοῦ, καὶ τοὺς ἀγῶνας ὑμῶν· Τυράννων τὴν ἄθεον ὀφρὺν γὰρ κατεβάλετε, καὶ κατηργήσατε τὴν τῶν δαιμόνων, πανασίδιμοι γενναίως.

Θεοτοκίον.

Ἀνατέταλκεν ὁ μέγας καὶ ἀνέσπερος, Ἥλιος πᾶσι βροτοῖς, ἐκ τῆς νηδύος τῆς σῆς, καὶ πάντας ἐφώτισε φωτὶ τῆς γνώσεως, τοὺς κραυγάζοντας· Εὐλογημένος Πάναγνε ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ὠδὴ η'. Τὸν ἀρρήτῳ σοφίᾳ.

Μεμηνότων τυράννων τὴν δυσκάθεκτον μανίαν, οἱ νεομάρτυρες κατέβαλον, διαπρυσίως μελῳδοῦντες· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον,

Ἀνανήψατε πλάνοι, καὶ ἐπίγνωτε τὸν Κύσιον, ὥπερ ὄντως οἱ
ἐκ τῆς Λάμπης, ἔνδοξοι μάρτυρες ἀνεβόων· Εὐλογεῖτε τὰ ἔρ-
γα Κυρίου τὸν Κύριον.

Ρητορεύειν μηδόλως μελετήσαντες, οἱ ἐν Ρεθύμνῃ μάρτυρες
πνεύματος δὲ θείου πλησθέντες ἐβόων· Εὐλογεῖτε τὰ ἔργα Κυ-
ρίου τὸν Κύριον.

Θεοτοκίον.

Τῶν γενναίων τούτων Νεομαρτύρων, ὡραιώθησαν ἐν χάρι-
τι, οἱ πόδες τρισυπόστατον φύσιν εὐαγγελιζομένων, καὶ θεοτό-
κον ὁμολογούντων· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἕτερος. Παῖδας εὐαγεῖς.

Ἡ εὐαγεστάτη τῶν Μαρτύρων, πανήγυρις χαρμοσύνως ἐπε-
δήμησε, κόσμον καταυγάζουσα, πάντας κατευφραίνουσα, καὶ
τηλαυγῶς φαιδρύνουσα, πίστει τοὺς ψάλλοντας· Τὸν Κύριον
ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὀρθρίζοντες πρὸς τὸν ἐκ παρθένου, ἐκλάμψαντα παραδόξως
μέγαν Ἥλιον, Μάρτυρες ἀήττητοι· φῶς ἐχρηματίσατε, καὶ
τὸ τῆς πλάνης χάριτι, σκότος ἐλύσατε. Τὸν Κύριον ὑμνεῖτε
βοῶντες καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Στεφάνῳ τῆς νίκης κοσμηθέντες καὶ κάλλους διαδήματι
λαμπόμενοι, αἴγλην τὴν ἀνέσπερον, τέλος τὸ μακάριον, ἐν οὐ-
ρανοῖς εἰλήφατε, Μάρτυρες κράζοντες· Τὸν Κύριον ὑμνεῖτε
τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὑμᾶς τοὺς γενναίους ἀθλοφόρους, Γεώργιον, Ἀγγελῆν,

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ … ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

Μανουήλ τε καὶ τὸν Νικόλαον, πρέσβεις πρὸς τὸν Κύριον, δυνατωτάτους ἔχοντες, πόθῳ κραυγάζομεν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Στόματι καὶ γνώμῃ Θεοτόκον, φρονοῦντες ὁμολογοῦμέν σε Πανάμωμε· Τέτοκας γὰρ Πάναγνε, σάρκα περιθέμενον, τὸν ποιητὴν καὶ Κύριον, καὶ βασιλέα Χριστόν· διό σε τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ῥάβδον δυνάμεως θείας, τὸν σταυρὸν κεκτημένοι, ἑδόων τῷ Χριστῷ οἱ ἀθληταί, οἱ τετράριθμοι· Δέσποτα, πανσθενεῖ τροπαιούχῳ, τῇ σῇ στεφανωθείημεν χειρί, ἵνα πάντες σε ὕμνοις ἀπαύστως μεγαλύνωμεν.

Ῥευστὴν οἱ ἐν Ῥεθύμνῃ μάρτυρες, δόξαν καὶ πλοῦτον Χριστέ, καταλιπόντες ἐπὶ γῆς, σὲ τὸ τῆς δόξης ἀπαύγασμα, ἀναφαίρετον πλοῦτον εὑρόντες, αἰωνίων ἀγαθῶν κληρονόμοι, ἀξίως ἐν οὐρανοῖς ἐγένοντο,

Νενικηκότες τοῖς ἄθλοις, καὶ τῇ Τρισυποστάτῳ Τριάδι παρεστῶτες ἀθληταί, νῦν δωρηθῆναι πρεσβεύσατε, τὴν εἰρήνην τῷ κόσμῳ, νίκας τοῖς εὐσεβέσι κατ' ἐχθρῶν, πᾶσί τε σωτηρίαν τοῖς ὑμᾶς γεραίρουσιν.

Θεοτοκίον.

Χαῖρε πηγὴ ἀφθαρσίας· Χαῖρε κούφη νεφέλη· Χαῖρε τερπνὲ Παράδεισε Θεοῦ· πηγὴ ἰαμάτων ψυχῶν· Χαῖρε ἅγιον ὄρος, ὃ εἶδεν ὁ προφήτης Δανιήλ· Χαῖρε Μῆτερ Παρθένε· Χαῖρε ἡ πάντων Ἄνασσα.

Ἕτερος. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Καμάτους ὑμῶν τοὺς ἐπὶ γῆς οὐράνιος, εὐφροσύνη διεδέξατο, ἔνθα Μαρτύρων αἱ χορεῖαι, καὶ τὰ τῶν Ἀθλοφόρων στρατεύματα, καὶ πᾶσα τῶν Πρωτοτόκων ὁμήγυρις, τοῖς οὐρανίοις συνευφραίνεται.

Ἐκ τῶν δεσμῶν τῶν ὀδυνηρῶν Πανόλβιοι, καὶ κινδύνων διασώσατε, πάντας τοὺς πίστει τὴν ἁγίαν, Πανήγυριν ὑμῶν ἑορτάζοντας, εἰρήνην καὶ γαλήνην αἰτούμενοι, καὶ σωτηρίαν Πανσεβάσμιοι.

Πλουσίῳ Λαμπόμενοι φωτὶ καὶ χάριτι, Ἀθλοφόροι διαπρέ-



ποντες, λύσιν πταισμάτων καὶ φροντίδων, δοθῆναι τοῖς πρὸς ὑμᾶς καταφεύγουσι, τὸν εὐεργέτην δυσωπήσατε.

Θεοτοκίον.

Φωνήν σοι τοῦ θείου Γαβριήλ, προσάγομεν, γεγηθότες Κόρη Πάναγνε· Χαῖρε ἡ κεχαριτωμένη, Μαρτύρων, Ἀποστόλων τὸ καύχημα, καὶ πάντων τῶν πιστῶν τὸ διάσωσμα, Παρθενομῆτορ, ἀπειρόγαμε.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν

Ἀδελφικῇ συνδούμενοι, τῇ στοργῇ καὶ τῇ πίστει, οἱ ἐν Ῥεθύμνῃ μάρτυρες, Γεώργιος, Ἀγγελῆς τε, Μανουὴλ καὶ Νικόλαος, σὲ Χριστὲ δυσωποῦσιν, εἰρήνην δοῦναι τῷ κόσμῳ καὶ τοῖς πιστοῖς, τρόπαια νίκης κατὰ βαρβάρων, ἡμῖν πταισμάτων ἄφεσιν, καὶ ψυχῶν σωτηρίαν.

Ἕτερον ὅμοιον.

Ὁ Μανουὴλ ὁ ἔνδοξος, Ἀγγελῆς ὁ Θεόφρων, Νικόλαος Γεώργιος, τοῦ Χριστοῦ τῇ ἰσχύϊ, ἐνήθλησαν καὶ τὴν πλάνην, τῶν ἀπίστων καθεῖλον· καὶ νῦν καθικετεύουσι, τὴν Ἁγίαν Τριάδα ὑπὲρ ἡμῶν· οὓς ἐν ὕμνοις ἅπαντες εὐφημοῦντες, φαιδρῶς πανηγυρίσωμεν, τὴν σεπτὴν τούτων μνήμην.

Θεοτοκίον.

Θαῦμα φρικτὸν Πανάμωμε, ὅτι τὸν πρὸ αἰώνων, ἐκ τοῦ πατρὸς ἐκλάμψαντα, ὁμοούσιον Λόγον, γεγέννηκας ἀπορρήτως. ὅθεν σε θεοτόκον, ὁμολογοῦμεν Δέσποινα, ἀληθῶς καὶ κυρίως, ὡς ἀληθῆ, τοῦ θεοῦ μητέρα, ὃν ἐκδυσώπει, Ἁγνὴ Θεομακάριστε, ὑπὲρ γένους ἀνθρώπων.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στιχ. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια

Ἦχος δ' ὡς γενναῖον ἐν μάρτυσι.

Ὡς γενναίου ἐν μάρτυσι, συνελθόντες μακάριε, Ἀγγελῆ τὴν μνήμην σου ἑορτάζομεν· καὶ γὰρ βασάνους ὑπέμεινας, καὶ αἷμα ἐξέχεας, δι' ἀγάπην τοῦ Χριστοῦ, παρ' οὗ στέφανον εἴληφας· ὃν ἱκέτευε, ἐκ παντοίων ῥυσθῆναι συμπτωμάτων, τοὺς ἐκ πόθου ἐκτελοῦντας, τὴν πανᾳοίδιμον μνήμην σου.

Μανουὴλ τε τοῦ Μάρτυρος, ὡς ἀνδρείως ἀθλήσαντος, καὶ ἐχθροῦ τὴν ἔπαρσιν ταπεινώσαντος, τὴν θείαν μνήμην τιμήσωμεν, καὶ πόθῳ βοήσωμεν. Νέε Μάρτυς τοῦ Χριστοῦ, ὑπὲρ οὗ αἷμα κέχυκας τούτῳ πρέσβευε, ἐκ κινδύνων ῥυσθῆναι πολυτρόπων, τοὺς τιμῶντάς σου τὴν μνήμην, καὶ σὲ πιστῶς μακαρίζοντας.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἡ παροῦσα Ἱερὰ Ἀκολουθία ἀνατυπωθεῖσα, ὡς ἐν τῷ Προλόγῳ δηλοῦται ὑπὸ τῆς πρὸς ἀνέγερσιν ΝΑΟΥ ἐν τῇ γενεθλίῳ κώμῃ τῶν Μαρτύρων Ἐπιτροπείας διανέμεται δωρεὰν πᾶσι τοῖς φιλομάρτυσι καὶ εὐσεβέσι Χριστιανοῖς τοῖς ὁπωσδήποτε συντρέχουσιν ἐν τῷ εὐσεβεῖ τούτῳ ἔργῳ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ